ἡ μήτηρ νὰ ἐξέλθῃς οὕτως ἔνοπλος,
ἐν ᾧ τὰ πάντα ἀγνοεῖ. Εἰπέτε μοι,
ποῦ ἔνοπλοι ἐξέρχεσθε καὶ διὰ τί;
Ὅπως ὁ λόγος οὕτω καὶ ἡ σιωπὴ
ῥομφαία εἶναι δίστομος ἐνίοτε,
ζωὴν ἀλλὰ καὶ θάνατον πηγάζουσα.
(*Ἀκούεται σάλπιγξ*).
Καὶ πάλιν ἠχεῖ σάλπιγξ.

ΛΥΚ. — Αἴπυτ' Αἴπυτε. —

ΜΕΡ. — Πολέμου εἶναι, τὸ γνωρίζω, σάλπισμα
κ' εἰς πόλεμον, τὸ βλέπω, σεῖς ἐξέρχεσθε.
Πλὴν σὺ δὲν θὰ ἐξέλθῃς, ὄχι, τέκνον μου.

ΛΥΚ. — Βασίλισσα!

ΜΕΡ. — Λυκόρτα, εἶν' ἀδύνατον.
Θὰ τὸν φονεύσουν, εἶναι νέος ἄπειρος
καὶ τὴν ὁρμήν του ἔτι τὴν νεανικὴν
ὁ χρόνος καὶ ἡ πεῖρα δὲν ἐκόλασαν.

ΑΙΠ. — Ὦ μῆτέρ μου!

ΛΥΚ. — Ὡραῖα εἰς τὸν Αἴπυτον
τὸν Ἡρακλείδην δίδει ἡ βασίλισσα
μαθήματα.

ΜΕΡ. — Λυκόρτα, ὤ! δὲν σκέπτεσαι
τὸν θρόνον τῆς Μεσσήνης, τὴν πατρίδα σου;
Μονος ὑπάρχει Ἡρακλείδης σήμερον
ὁ Αἴπυτος, Λυκόρτα. Εἰς τὴν ἀγορὰν
οἱ βασιλεῖς δὲν καταβαίνουν, κλείονται
εἰς ἀκροπόλεις καὶ ἀνάκτορ' ἀσφαλῆ,
ὡς ὁ Κρεσφόντης, ὡς καὶ πάντες οἱ λοιποὶ
ἐποίουν Ἡρακλεῖδαι κινδυνεύοντες.
Ὁ ἰδιώτης εἶναι ῥᾳδινδυνος,
διότι ἡ ζωή του εἶναι κτῆμά του,
ἀλλὰ τοῦ βασιλέως κτῆμα ἴδιον
δὲν εἶναι ἡ ζωή, ἀλλὰ τοῦ ἔθνους του.

ΛΥΚ. — Ἐμὲ τὸν ἰδιώτην ἀλλ' ἀπαίδευτος
διδάσκει φρὴν κ' ἐδίδαξε τὸν Αἴπυτον.
Οὐτιδανὸς τὸ γένος καὶ τὸ φρόνημα
καὶ ἂν θεοὶ ἀκόμη τὸν ἐγέννησαν,
ὁ βασιλεὺς ἐκεῖνος εἶναι, ἄνασσα,
εἰς τοὺς κινδύνους, ὅστις τῆς πατρίδος του
δὲν κινδυνεύει πρῶτος.

ΑΙΠ. — (*Ὡς μέλλων νὰ ἐξέλθῃ*) Χαῖρε, μῆτερ μου.
Ἐλθέ, Λυκόρτα.

ΜΕΡ. — Αἴπυτέ μου, τέκνον μου.
—Παιδίον, ποῦ ἀφίνεις τὴν μητέρα σου;

ΛΥΚ. — Ἡ πόλις ἔξω σείεται, βασίλισσα,
τὴν ὥραν ταύτην, ὁ λαὸς φονεύεται,

καὶ ἡ πατρὶς εἰς τῆς ἀβύσσου ἵσταται
τὸ χεῖλος.

ΜΕΡ. — Τί ἀκούω; Γέρον, τέκνον μου,
σᾶς ἱκετεύω, πρὸς θεῶν, λαλήσατε.
Τίς τοῦ πολέμου ὁ σκοπὸς καὶ ἡ ἀρχὴ
τοῦ ἐμφυλίου τούτου;

ΛΥΚ. — Ἡ Στενύκλαρος
εἰς δύο χωρισμένη εἶναι ἐχθρικὰ
στρατόπεδα, Μερόπη, εἰς τοὺς Δωριεῖς
καὶ εἰς τοὺς Μεσσηνίους, ὅσοι ἔλαβον
τὰ ὅπλα, ἢ ἐντεῦθεν ἐκ τοῦ ἄστεως
ἢ συνωμόται ἐκ τῶν Μεσσηνιακῶν
χωρῶν ἐνταῦθα φθάσαντες καὶ πόλεων.
Τὴν νύκτα οὗτοι σύμπαντες κατέλαβον
τὴν ἀγορὰν μεθ' ὅπλων οἱ Μεσσήνιοι,
τὴν Μεσσηνίαν ὅλην ἀνεκήρυξαν
ἓν κράτος ἐνιαῖον καὶ ἰσόνομον
ἀπὸ τῆς Νέδας μέχρι τοῦ Ἀκρίτα, καὶ
τῆς Μεσσηνίας βασιλέα ἅπαντας
τὸν Αἴπυτον συμφώνως ἀνηγόρευσαν.
Ἀλλ' οἱ Δωριεῖς ν' ἀναγνωρίσωσι
τὸν νέον βασιλέα δὲν ἠθέλησαν
πρὶν ἢ τοῦ Πολυφόντου ἐκδικήσωσι
τὸν φόνον. Τοῦ Κρεσφόντου εἶπαν τὸν υἱὸν
ὡς Ἡρακλείδην καὶ ἐκεῖνοι στέργουσι
νὰ συναναγορεύσουν βασιλέα των,
πλὴν τὴν Μερόπην, ὡς φονεύσασαν αὐτὸν
τὸν Πολυφόντην, ὅρκον ὤμοσαν φρικτὸν
νὰ θανατώσουν· δι' αὐτὸ ἐν ὅσῳ ζῇ

ἡ μήτηρ τοῦ Αἰπύτου, εἶν' ἀδύνατον
τῆς Μεσσηνίας βασιλέα τὸν υἱὸν
αὐτῆς ἐκεῖνον νὰ ἀναγνωρίσωσι.

ΑΙΠ. — Ναί, καὶ ἐν ὅσῳ, γέρον, ζῇ ὁ Αἴπυτος,
οἱ δολοφόνοι τοῦ Κρεσφόντου κ' οἱ φονεῖς
τῶν τέκνων τῆς Μερόπης μὴ ἐλπίσωσιν
ἐκ τοῦ Αἰπύτου χάριν ἢ διαλλαγήν.

ΛΥΚ. — Τῶν Δωριέων ταύτην τὴν παράλογον
ἀπαίτησιν ὁ Αἴπυτος ἀπέκρουσεν
ὀργίλος, μετ' αὐτοῦ δὲ καὶ οἱ Μεσσήνιοι.
Οἱ Δωριεῖς ἐπῆλθον τότε ἔνοπλοι
κατὰ τῶν Μεσσηνίων κ' ἡ Στενύκλαρος
τὴν νύκτα ὅλην μέχρι ταύτης τῆς στιγμῆς
φρικώδης εἶναι ἐμφυλίου σπαραγμοῦ
σκηνή! Γινώσκεις πάντα νῦν, βασίλισσα.

ΑΙΠ. — Ἐλθέ, Λυκόρτα. Σπεύσωμεν. — Ὦ μῆτέρ μου,
φιλτάτη μῆτερ, χαῖρε.

ΜΕΡ. — (*Ἀλλόφρων καὶ καθ' ἑαυτήν*). Ναί, πατρίς μου, ναί.
Υἱέ μου! Καὶ σεῖς κάτω, ἔρχομαι πρὸς σᾶς.
Τὸ θῦμα θέλει θῦμα, ἐξιλέωσιν!
(*γεγωνυῖα πρὸς τὸν Αἴπυτον*).
Υἱέ μου, χαῖρε.
(*ὁ Αἴπυτος κινεῖται ὡς θέλων νὰ ἐξέλθῃ*).
Ὦ θεοὶ αἰώνιοι,
τοιουτοτρόπως μὲ ἀποχωρίζεσαι
διὰ παντός, υἱέ μου;

ΑΙΠ. — Ὄχι, μῆτέρ μου,
θά σ' ἴδω.

ΜΕΡ. — Τίς οἶδε; Δὲν ἐξέρχεσαι

εἰς πόλεμον, υἱέ μου;

ΑΙΠ. — Πάλιν μῆτέρ μου,
θά σ' ἴδω.

ΜΕΡ. — Πάλιν θὰ μὲ ἴδῃς;— Ἴσως—ναί,
υἱέ μου.
(*πρὸς ἑαυτήν*). Ὦ! φρικώδης, φοβερὰ στιγμή!
(*γεγωνυῖα πρὸς τὸν Αἴπυτον*)
Ὑποθες, ὅτι ἀποχωριζόμεθα
διὰ παντὸς καὶ αἰωνίως, Αἴπυτε.
Ὑποθες, ὅτι ἡ βαρύσταθμος αὐτὴ
στιγμὴ ἐγκλείει τὴν αἰωνιότητα
τοῦ τάφου, ὅτι δὲν θά σ' ἴδῃ ἡ μήτηρ σου
οὐδὲ θὰ ἴδῃς πλέον τὴν μητέρα σου.
Τίς οἶδεν;
(*καθ' ἑαυτήν*). Ὄχι, ὄχι! εἶνε ἀδύνατον,
θεοί, νὰ ὑπομένω.
(*γεγωνυῖα πρὸς τὸν Αἴπυτον*).
Αἴπυτ' Αἴπυτε!

(*Ὁ Αἴπυτος ὁρμᾷ πρὸς αὐτήν, ἵνα τὴν ἐναγκαλιασθῇ, ἀλλ' αὕτη νεύει νὰ μὴ πλησιάσῃ καὶ ἐξορμᾷ τῆς σκηνῆς.*)

Σκηνὴ πέμπτη.

Οἱ τῆς προλαβούσης σκηνῆς πλὴν τῆς Μερόπης.

ΑΙΠ. —Εἰς ποῖον τρόμον τὴν καρδίαν μου, θεοί,
οἱ λόγοι τῆς μητρός μου οὗτοι ἔρριψαν.
(*ἠχεῖ σάλπιγξ*).

ΛΥΚ.—Ἐμπρός, υἱέ μου. Σὲ προσμένει ὁ λαός.

ΑΙΠ. —Ὕπαγε μόνος· μετ' ὀλίγον ἔρχομαι
κ' ἐγώ, ὦ πάτερ.

ΛΥΚ.— Τί ἀκούω, Αἴπυτε;
Παρῆλθον ἤδη ὧραι, ἐν ᾧ ἔχομεν
καὶ τῆς στιγμῆς ἀνάγκην. Σπεῦσον, ἄγωμεν.

ΑΙΠ. —Δὲν δύναμαι τὴν ἔντρομον λακτίζουσαν
νὰ καταστείλω ἔνδοθεν καρδίαν μου.
Ἂν σε ἀκολουθήσω, ἡ καρδία μου
θὰ συντριβῇ, ὦ πάτερ. Εἶν' ἀδύνατον
ἐνταῦθα τεθλιμμένην τὴν μητέρα μου
ν' ἀφήσω οὕτω καὶ ἀπαρηγόρητον.
Ἀνάγκη νὰ τὴν ἴδω, νὰ τὴν ἀσπασθῶ,
ἀνάγκη μίαν ἀποχωριζόμενος
γλυκεῖαν λέξιν νὰ τῇ εἴπω.

ΛΥΚ.— Αἴπυτε!
Συγχώρησέ τον, κινδυνεύουσα πατρίς!
Ἀκόμ' εἶναι παιδίον.

ΑΙΠ. — Γέρον, ὕπαγε,
σοὶ τὸ προστάττω. Μετὰ μίαν σύντομον
στιγμὴν ἐν μέσῳ εἶμαι τοῦ λαοῦ κ' ἐγώ.

(*Ἀμφότεροι ἐξέρχονται δι' ἀντιθέτων παρασκηνίων*).

Σκηνὴ ἕκτη.

ΕΥΡ.— Ὦ εἴθε τὴν ἡμέραν ταύτην, ἥλιε,
ἡ Εὐρυμέδη μὴ τὸ φῶς σου ἔβλεπε,
κ' οἱ ὀφθαλμοί της εἴθε μὲ τὸν ζοφερὸν
κεκαλυμμένοι πέπλον τοῦ θανάτου νῦν
τυφλοὶ πρὸς τῆς πατρίδος ἦταν τὰ δεινά,
κ' ἡ τάλαινα καρδία μου ἀναίσθητος
πρὸς τῆς Μερόπης ταῦτα τὰ παθήματα.
Ὦ! ὅσοι πρὸς τοῦ θρόνου ἀτενίζουσι

τὴν λάμψιν μετὰ θάμβους, ἂν ἐγίνωσκον
πόσας καλύπτει ἡ πορφύρα συμφοράς!
Θνητοί, ὀπίσω, ὅσοι πρὸς τὰς κορυφὰς
τῆς ἀνθρωπίνης δόξης ἀκατάσχετοι
ὁρμᾶτε. Νέφη κρύπτουσι τὰς κορυφὰς
ζοφώδη καὶ τὰ νέφη φλόγας κεραυνῶν.
Ὁ ἦχος τῶν σαλπίγγων ὁ πολεμικός,
τὸν τρόμον νὰ ἐμπνέ' εἰς τὴν καρδίαν μου
κατέπαυσε.

(*Ἀκούεται μακρόθεν θόρυβος ὡς κραυγαὶ λαοῦ. Ἐκ διαλειμμάτων ὁ θόρυβος ἀκούεται ζωηρότερος*).

Ποικίλη δὲ καὶ συμμιγὴς
βοὴ ἀνθρώπων φθάνει εἰς τὰ ὦτά μου
μακρόθεν. Νῦν ἐγγίζει, νῦν ἐγγύτερον
ἀκούεται· νῦν ἔφθασεν ἐκτὸς κ' ἐγγὺς
τῶν ἀνακτόρων. Εἰς τὰ τείχη ἔφθασε
καὶ εἶναι κάτω ὁ λαός. Ὦ! εὐκρινῶς
τὰς λέξεις διακρίνω τώρα, «βασιλεῦ
τῆς Μεσσηνίας Αἴπυτε!» κραυγάζουσι.
Ποία χαρά! Ποῦ εἶναι, ποῦ ἡ εὐτυχὴς
Μερόπη; Εὐρυμέδη, δράμε πρὸς αὐτήν,
καὶ παρὰ πρώτης σου τὰ εὐαγγέλια
τῆς δόξης ἂς ἀκούσῃ κ' εὐτυχίας της.
(*Ἡ Εὐρυμέδη ἐξέρχεται*).

Σκηνὴ ἑβδόμη.

ΑΙΠΥΤΟΣ καὶ ΛΥΚΟΡΤΑΣ ἐξ ἀντιθέτων παρασκηνίων.

ΑΙΠ. — Ὦ, τέλος πάντων, ἦλθες, ἦλθες, πάτερ μου!
Εἰπέ μοι τί συνέβη καὶ διάλυσον

τὴν ἔκπληξίν μου καὶ τὴν ἀπορίαν μου.
Οἱ Δωριεῖς καὶ οἱ Μεσσήνιοι
πῶς ἀπροόπτως οὕτω διηλλάγησαν
καὶ συμφιλιωμένοι πρὸς τ' ἀνάκτορα
ἡ πόλις ὅλη τρέχει τώρα πανδημεὶ
ἀνακηρύττουσά με ἐν μιᾷ φωνῇ
τῆς Μεσσηνίας βασιλέα;

ΛΥΚ. — Βασιλεῦ
τῆς Μεσσηνίας, μόνον εὐαγγέλια
τὴν ὥραν ταύτην ὁ πιστὸς θεράπων σου
ηὔχετο νά σοι φέρῃ κ' ἦτο δίκαιον.
Ἀλλ' οὕτως οἱ θεοὶ δὲν ἀπεφάσισαν,
καὶ τῶν θεῶν οἱ ἄνθρωποι τὴν θέλησιν
ὀφείλουν ἀγογγύστως ν' ἀποδέχωνται.

ΑΙΠ. — Ἡ μήτηρ μου, ποῦ, γέρον, εἶν' ἡ μήτηρ μου;

ΛΥΚ. — Περὶ αὐτῆς θά σοι λαλήσω, βασιλεῦ.
Ἀπέναντι ἀλλήλων οἱ Μεσσήνιοι
κ' οἱ Δωριεῖς εἰς μάχην ἕτοιμ' ἵσταντο
κατὰ τὴν ἀγοράν, ὅτε ἡ ἄνασσα
Μερόπη συγκεκαλυμμένη ἔφθασεν
ἡ γερουσία ὅπου συνεδρίαζε
τῶν Δωριέων. Ἔκθαμβοι οἱ Δωριεῖς
τὴν ἄγνωστον γυναῖκα εἶδον ἔμπροσθεν
αὐτῶν ἐμφανισθεῖσαν. Ἡ βασίλισσα
εἰς μάτην τοὺς προέτρεψε νὰ παύσωσι
τὴν ἀλληλοσφαγίαν καὶ νὰ σώσωσι
τὴν Μεσσηνίαν τὴν κοινὴν πατρίδα, σὲ
τὸν Ἡρακλείδην Αἴπυτον ὡς ἄνακτα
καὶ βασιλέα συνανακηρύττοντες.

Οἱ Δωριεῖς ὀργίλοι ἀπεκρίθησαν,
ὅτι ἐν ὅσῳ ἡ Μερόπη ζῇ, αὐτοί
ποτὲ δὲν θὰ δεχθῶσι τὸν υἱὸν αὐτῆς
ὡς βασιλέα. Ὅταν ἡ φονεύσασα
τὸν Πολυφόντην φονευθῇ βασίλισσα,
τότε καὶ οὗτοι θέλουσι τὸν Αἴπυτον
ἀνακηρύξῃ βασιλέα. Τὴν μορφὴν
ταχέως τότ' ἐκείνη ἀπεκάλυψε
κ' «ἐγὼ τὸν Πολυφόντην, εἶπ' ἐφόνευσα,
ἐγὼ εἶμ' ἡ Μερόπη.» Ξίφη στίλβουσι
γυμνὰ καὶ κατ' ἐκείνης εὐθὺς στρέφονται.
«Ἐδῶ κτυπᾶτε», εἶπε καὶ τὸ στῆθός της
προέτειν' ἐναντίον εἰς τὰ ξίφη των.
Ἀκίνητοι καὶ σιωπῶντες ἔμειναν
ἐκεῖνοι τότε. «Τρέμ' ἡ χείρ σας, ἔκραξεν,
ἀλλὰ θαρρεῖτε. Εἶχεν, εἶχε, Δωριεῖς,
ὁ Αἴπυτος μητέρα καὶ βασίλισσαν
ἡ Μεσσηνία, ἧς ἡ χεὶρ δὲν ἔτρεμεν,
ὅταν τὸ ξίφος τοῦτο εἰς τὸ στῆθός της
ὑπὲρ αὐτῶν ἐβύθισε!». Καὶ πράγματι
γυμνὸν ἐν τάχει ξίφος, ταῦτα λέγουσα,
βυθίζει εἰς τὸ στῆθός της κ' αἱμόφυρτος
ἀνέπεσεν ἐπάνω τοῦ ἀγκῶνός της
χαμαὶ προστηριχθεῖσα. Θάμβους δάκρυα
καὶ θαυμασμοῦ τῶν Δωριέων βρέχουσι
τοὺς ὀφθαλμούς. Ἡ φήμη τῆς ἡρωϊκῆς
σκορπίζεται παντοῦ ἀφοσιώσεως.
Οἱ ἀλληλομαχοῦντες εἰς τὰς θήκας των
ἐγκλείουσι τὰ ξίφη καὶ δακρύβρεκτοι

ἀλλήλους δεξιοῦνται. Συνδιαλλαγεὶς
τῶν Μεσσηνίων καὶ τῶν Δωριέων ὁ
λαὸς τοιουτοτρόπως πρὸς τ' ἀνάκτορα
ἐνταῦθα συνοδεύει τὴν βασίλισσαν·
κ' ἐν ᾧ ὑπὲρ ἐκείνης χύνει θαυμασμοῦ
κ' εὐγνωμοσύνης δάκρυα, ἀνευφημεῖ
ὡς βασιλέα τὸν υἱόν της Αἴπυτον,
ἵνα χαρᾶς ἐμπλήσῃ τὰς στιγμὰς αὐτῆς
τὰς τελευταίας.

Σκηνὴ ὀγδόη.

Οἱ τῆς προλαβούσης σκηνῆς, ΜΕΡΟΠΗ καθημαγμένη καὶ ἑτοιμοθάνατος, Δωριεῖς, Μεσσήνιοι δορυφόροι καὶ λαός. Οἱ Δωρ. καὶ οἱ Μεσσ. τάττονται ἑκατέρωθεν τῆς σκηνῆς ὁμοίως καὶ οἱ δορ. καὶ λαός. Τὴν ΜΕΡΟΠΗΝ κομίζοντες στηρίζουσιν οἱ περὶ τὴν Εὐρυμέδην.

ΑΙΠ. — Ὦ θεοὶ ἀθάνατοι,
τὴν θέαν ταύτην μοὶ παρεσκευάζετε;
Σβεσθῆτε, ὀφθαλμοί μου, καταπέσετε,
κατηραμένοι θόλοι τῶν Ἡρακλειδῶν,
καὶ τοῦ Κρεσφόντου τὸν υἱὸν τοῦ ἄθλιον
χανοῦσα κρύψον, γῆ! Ὦ τάλαινος υἱοῦ
τάλαινα μήτηρ! — Μῆτέρ μου, τί ἔπραξας!

ΜΕΡ. —(*διὰ φωνῆς βαθμηδὸν ἐκλιπούσης*).
Ὀλίγας ἔτι ἔχομεν στιγμάς, υἱέ,
καὶ ἀποθνήσκω. Τῆς μητρός σου ἄκουσον
ὅσας ἀκόμη νὰ προφέρῃ δύναται
ὑστάτας λέξεις. Μή με κλαίῃς. Ἔπρεπε
νὰ ἀποθάνω. Οὕτως οἱ θεοὶ ἡμῶν
διέταξαν τὴν τύχην, ἐπειδὴ αὐτοὶ
τοιαύτην τὴν καρδίαν κατεσκεύασαν

τὴν ἀνθρωπίνην Τοῦ μεγάλου σου πατρὸς
τὸ ἔργον ἀποθνήσκω συντελέσασα.
Οἱ Δωριεῖς ἰδοὺ καὶ οἱ Μεσσήνιοι
μιᾶς πατρίδος τέκν' ἀναγνωρίζουσι
μιᾶς σε Μεσσηνίας βασιλέα νῦν.
Νῦν ἀποθνήσκω. Μὴ δακρύῃς, τέκνον μου.
Ὦ! ἀφοῦ τόσον, τέκνον μου, σ' ἠγάπησα,
νὰ σὲ ἀφήσω ἔπειτα δὲν δύναμαι.
Ὦ! πίστευσόν με, ἡ ψυχή μου φεύγουσα
τὴν ὥραν ταύτην εἶναι, εἶναι μετὰ σοῦ!
Ὦ τέκνον . . . ὦ υἱέ μου . . . .

ΑΙΠ. — Μῆτερ μου! μῆτέρ μου!

ΜΕΡΟΣ Β΄.

ΑΡΧΑΙΑ ΓΛΩΣΣΑ*

1. Σοφὰ διδάγματα.

Ὁ κόσμος ἐστὶν ἔργον Θεοῦ. — Ἡ θεοσέβειά ἐστιν ἀρχὴ τῆς σοφίας. — Ἀρχὴ σοφίας φόβος Κυρίου. — Πασῶν τῶν ἀρετῶν ἡγεμών ἐστιν ἡ εὐσέβεια. — Ἡ φιλαργυρία μήτηρ πάσης κακίας ἐστίν. — Τὸ ψεῦδος μισεῖ πᾶς σοφὸς καὶ χρηστός. — Γλώσσης κράτει. — Κακολογίας ἀτέχου. — Βίᾳ μηδὲν πράττε. — Ἀργὸς μὴ ἐσθιέτω. — Νόει καὶ τότε πράττε. — Τῆς παιδείας αἱ μὲν ῥίζαι πικραί, οἱ δὲ καρποὶ γλυκεῖς. — Αἱ τῶν ἀγαθῶν φιλίαι βέβαιαι. — Χάρις μὲν χάριν, ἔρις δὲ ἔριν τίκτει. — Γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. — Ἡ σιγὴ τοῖς παισὶ κόσμος ἐστίν. — Ἡ σοφία τιμὴν καὶ δόξαν τίκτει. — Οὐδεὶς μετ' ὀργῆς ἀφαλῶς βουλεύεται. — Πλοῦτος κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν. — Ἡ δικαιοσύνη ἐστὶν ἡ πρώτη τῶν ἀρετῶν καὶ τοῖς δεσπόταις καὶ τοῖς οἰκέταις καὶ τοῖς νεανίαις καὶ τοῖς πρεσβύταις. — Ἕπου Θεῷ καὶ τοῖς νόμοις πείθου. — Οἱ ἀγαθοὶ ἄνθρωποι τοῖς θεοῖς εἰσι φίλοι. — Εὐχῆς δικαίας οὐκ ἀνήκοος Θεός. — Οἱ ἀπαίδευτοι μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρουσι. — Τῇ

*. Εἰς τὸ τέλος τοῦ κειμένου ἰδὲ τὰς σημειώσεις.

ἐπιμελείᾳ πάντα δοῦλα γίγνεται, τῇ δ' ἀμελείᾳ τὰ πάντα δυσχερῆ φαίνεται. — Ἀργύριον καὶ χρυσίον οὐ βελτίους ποιεῖ τοὺς ἀνθρώπους. — Γνώμη γερόντων ἀσφαλεστέρα νέων. — Πάσης πράξεως τὸ τέλος πρὸ τῆς ἀρχῆς ἐξέταζε. — Πονηρᾶς βιοτῆς πονηρὸν ἔσται καὶ τέλος. — Ἡ γλῶττα μὴ προτρεχέτω τοῦ νοῦ. — Περὶ δόξης χρηστῆς μᾶλλον σπουδάζετε ἢ περὶ τῶν χρημάτων. — Κέρδος πονηρὸν ἀεὶ ζημίαν φέρει. — Τῶν πόνων πωλοῦσιν ἡμῖν τὰ ἀγαθὰ οἱ θεοί. — Διώκετε, ὦ παῖδες, τὰς χρηστῶν συνουσίας. — Πᾶν πλῆθος καὶ πᾶς πλοῦτος τῇ ἀρετῇ ὑπείκει. — Εὐποιίας μὴ ἐπιλανθάνεσθε. — Ἀγάπα τὰ τοῦ πλησίον σου καὶ τήρει ὡς τὰ σαυτοῦ. — Κακοπραγοῦντα μὴ ὀνείδιζε. — Πάντων μάλιστα αἰσχύνου σαυτόν. — Ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστί. — Ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. — Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. — Ὁ θέλων εἶναι πρῶτος, ἔστω πάντων διάκονος. — Τὸν ψεύστην φυλάττου ὥσπερ τὸν κλέπτην καὶ λῃστήν. — Ὥσπερ ὑπὸ τοῦ ἰοῦ ὁ σίδηρος, οὕτως ὑπὸ τοῦ ἰδίου πάθους οἱ φθονεροὶ κατεσθίονται. — Φιλόπονος ἴσθι καὶ κτήσει βίον καλόν. — Σοφοῖς ὁμιλῶν καὐτὸς ἐκβήσει σοφός. — Φίλει τὴν πατρίδα κἂν ἄδικος ᾖ. — Ἐὰν μὴ φυλάττῃς τὰ μικρὰ ἀπεβαλεῖς τὰ μείζω. — Ἂν νέος πονήσῃς, γῆρας ἕξεις εὐτυχές. — Ἔργοις φίλους γινώσκετε μὴ μόνον λόγοις. — Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσι. — Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἀόρατον. — Ἔστι δίκης ὀφθαλμός, ὃς τὰ πάνθ' ὁρᾷ. — Πατρός τε καὶ μητρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρ' ἀν-

[illegible]εις τοῖς νοῦν ἔχουσι. — Ἀργὸς μὴ ἴσθι, μηδ' ἂν πλου-
— Νόμῳ καὶ ἄρχοντι καὶ σοφωτέρῳ εἴκειν κόσμιον. —
[illegible]ατρὸς λόγῳ ἀνάγκη παισὶ πείθεσθαι. — Κολάζειν μὲν δεῖ τοὺς φιλοψευδεῖς, φιλεῖν δὲ τοὺς φιλαλήθεις. — Αἴσχιστόν ἐστιν τὸν ὑπὲρ πατρίδος θάνατον ἀποφυγεῖν. — Πλάτων ἔλεγε τὴν παιδείαν τοῖς ἀνθρώποις δεύτερον ἥλιον εἶναι. — Τὸν αὐτὸν αἰνεῖν καὶ ψέγειν ἴδιον ἀνδρὸς κακοῦ. — Ἃ ποιεῖν αἰσχρόν, οὐδὲ λέγειν καλόν ἐστιν. — Κέρδος πονηρὸν μὴ λαβεῖν βούλου ποτέ. — Φίλους ἔχων νόμιζε θησαυροὺς ἔχειν. — Βέλτιόν ἐστιν ἀδικηθῆναι ἢ ἀδικῆσαι. — Δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, βασιλικώτατον δὲ τὸ πονεῖν. — Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις. — Αἱ κακαὶ συναναστροφαὶ φθείρουσιν ἤθη χρηστά. — Ἔργον οὐδὲν ὄνειδος, ἀργία δὲ τ' ὄνειδος. — Τὸ μὲν ζητούμενον ἀλωτόν, ἐκφεύγει δὲ τ' ἀμελούμενον.

---

2. Ἀπόσπασμα ἐκ τῆς Π. Διαθήκης.

Τωβίτ.

Καλέσας Τωβὶτ τὸν υἱὸν αὐτοῦ Τωβίαν εἶπε· Παιδίον, ὅταν ἀποθάνω, θάψον με καὶ μὴ ὑπερίδῃς τὴν μητέρα σου. Τίμα αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου καὶ ποίει τὸ ἀρεστὸν αὐτῇ καὶ μὴ λυπήσῃς αὐτήν.

Μνήσθητι, παιδίον, ὅτι πολλοὺς κινδύνους ἑόρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ· ὅταν ἀποθάνῃ, θάψον αὐτὴν παρ' ἐμοὶ ἐνὶ τάφῳ.

Πάσας τὰς ἡμέρας Κυρίου τοῦ Θεοῦ μνημόνευε καὶ μὴ θελήσῃς παραβῆναι τὰς ἐντολὰς αὐτοῦ. Δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου καὶ μὴ πορευθῇς ταῖς ὁδοῖς τῆς ἀδικίας· διότι ποιοῦντός σου τὴν ἀλήθειαν εὐοδίαι ἔσον-

ται ἐν τοῖς ἔργοις σου καὶ πᾶσι τοῖς ποιοῦσι τὴν δικαιοσύνην.

Ἐκ τῶν ὑπαρχόντων σοι ποίει ἐλεημοσύνην· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς πτωχοῦ. Ὡς σοι ὑπάρχει κατὰ τὸ πλῆθος[1], ποίει ἐλεημοσύνην· ἐὰν ὀλίγον σοι ὑπάρχῃ, κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην. Θέμα γὰρ[2] ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς ἡμέραν ἀνάγκης· διότι ἐλεημοσύνη ἐκ θανάτου ῥύεται καὶ οὐκ ἐᾷ εἰσελθεῖν εἰς τὸ σκότος· δῶρον γὰρ ἀγαθόν ἐστιν ἡ ἐλεημοσύνη πᾶσι τοῖς ποιοῦσιν αὐτὴν ἐνώπιον τοῦ Ὑψίστου.

Μισθὸν παντὸς ἀνθρώπου, ὃς ἐὰν ἐργάσηται παρὰ σοί, ἀπόδος αὐτῷ παραυτίκα. Πρόσεχε σεαυτῷ, παιδίον, ἐν πᾶσι τοῖς ἔργοις σου καὶ ἴσθι πεπαιδευμένος ἐν πάσῃ ἀναστροφῇ σου.

Καὶ ὃ σὺ μισεῖς, μηδενὶ ποιήσῃς.

Καὶ ἐκ τοῦ ἄρτου σου δίδου πεινῶντι καὶ ἐκ τῶν ἱματίων σου τοῖς γυμνοῖς.

Συμβουλίαν παρὰ παντὸς φρονίμου ζήτησον.

Καὶ ἐν παντὶ καιρῷ εὐλόγει Κύριον τὸν Θεὸν καὶ παρ' αὐτοῦ αἴτησον, ὅπως αἱ ὁδοί σου εὐθεῖαι γένωνται καὶ αἱ βουλαί σου εὐοδωθῶσι.

Μνημόνευε τῶν ἐντολῶν μου καὶ μὴ ἐξαλειφθήτωσαν ἐκ τῆς καρδίας σου.

Ἐκ τῆς Σοφίας Σειράχ.

Ὁ τιμῶν πατέρα ἐξιλάσεται ἁμαρτίας καὶ ὡς ἀποθησαυρίζων ὁ δοξάζων πατέρα αὐτοῦ. Ὁ τιμῶν πατέρα εὐφρανθήσεται ὑπὸ τέκνων καὶ ἐν ἡμέρᾳ προσευχῆς εἰσακουσθήσεται.

Ὁ δοξάζων πατέρα καὶ μητέρα μακροημερεύσει. Ἐν ἔργῳ καὶ λόγῳ τίμα αὐτούς, ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτῶν.

Εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια.

Τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρὸς καὶ μὴ λυπήσῃς αὐτὸν ἐν τῇ ζωῇ αὐτοῦ. Κἂν ἀπολίπῃ σύνεσιν, συγγνώμην ἔχε καὶ μὴ ἀτιμάσῃς αὐτόν.

Ὡς βλάσφημος[3] ὁ ἐγκαταλιπὼν πατέρα καὶ κατηραμένος ὑπὸ Κυρίου ὁ παροργίζων μητέρα αὐτοῦ.

Ὅσῳ μέγας εἶ, τοσούτῳ ταπείνου σεαυτὸν καὶ ἔναντι Κυρίου εὑρήσεις χάριν.

Τέκνον, ψυχὴν πεινῶσαν μὴ λυπήσῃς καὶ μὴ παροργίσῃς ἄνδρα ἐν ἀπορίᾳ αὐτοῦ.

Μὴ γίνου τραχὺς ἐν γλώσσῃ καὶ νωθρὸς ἐν τοῖς ἔργοις σου.

Μὴ ἔστω ἡ χείρ σου ἐντεταμένη εἰς τὸ λαβεῖν καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.

Οἱ εἰρηνεύοντές σε ἔστωσαν πολλοί, οἱ δὲ σύμβουλοί σου εἷς ἀπὸ χιλίων.

Εἰ κτᾶσαι φίλον, ἐν πειρασμῷ κτῆσαι αὐτὸν καὶ μὴ ταχὺ ἐμπιστεύσῃς αὐτῷ. Φίλος πιστὸς σκέπη κραταιὰ καὶ ὁ εὑρὼν αὐτὸν εὗρε θησαυρόν. Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα[4].

Μὴ ποίει κακὸν καὶ οὐ μή σε καταλάβῃ κακόν.

Ἐν ὅλῃ καρδίᾳ δόξασον τὸν πατέρα καὶ μητρὸς ὠδῖνας μὴ ἐπιλαθοῦ.

Ὁ ἀπτόμενος πίσσης μολυνθήσεται καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιωθήσεται αὐτῷ.

---

3. Ἐκ τῶν Αἰσώπου μύθων.

1) *Πῆραι δύο.* — Ἀνθρώπων ἕκαστος πήρας δύο φέρει, τὴν μὲν ἔμπροσθεν, τὴν δ' ὄπισθεν, γέμει δὲ κακῶν ἑκατέρα·

ἀλλ ἡ μὲν ἔμπροσθεν ἀλλοτρίων, ἡ δ' ὄπισθεν τῶν[1] αὐτοῦ τοῦ φέροντος. Διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ ἑαυτῶν κακὰ οὐχ ὁρῶσι, τὰ δ' ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται.

2) *Ἔριφος καὶ λύκος.*—Ἔριφος ἐπί τινος δώματος ἑστώς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν· ὁ δὲ λύκος ἔφη· «ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος».

3) *Τέττιξ καὶ μύρμηκες.*—Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων οἱ μύρμηκες ἔψυχον. Τέττιξ δὲ λιμώττων ἤτει αὐτοὺς τροφήν· οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· «διὰ τί τὸ θέρος οὐ συνῆγες τροφήν;» ὁ δ' εἶπεν· «οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον». οἱ δὲ γελάσαντες εἶπον· «ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὄρχου».

4) *Κύων κρέας φέρων.*—Κύων κρέας φέρων ποταμὸν διέβαινε· θεασάμενος δὲ τὴν ἑαυτοῦ σκιὰν ἐπὶ τοῦ ὕδατος, ὑπέλαβεν ἕτερον κύνα εἶναι μεῖζον κρέας κατέχοντα· διόπερ ἀφεὶς τὸ ἴδιον ὥρμησε τὸ ἐκείνου λαβεῖν. Ἐστερήθη οὖν ἀμφοτέρων, τοῦ μέν, διότι οὐδὲν ἦν, τοῦ δέ, ὅτι ὑπὸ τοῦ ῥεύματος κατεσύρετο.

5) *Γέρων καὶ παῖδες αὐτοῦ.* — Γέρων παῖδας εἶχεν, οἳ πολλάκις ἤριζον ἀλλήλοις· πολὺν δὲ χρόνον καὶ μάτην προτρέψας αὐτοὺς πρὸς ἀλλήλους ἐν ὁμονοίᾳ διάγειν ἐκέλευσέ ποτε αὐτῷ δέσμην ῥάβδων κομίσαι. Εἶτ' ἐνεχείρισεν αὐτοῖς ταύτας ἀθρόας καὶ ἐκέλευσε θραῦσαι, ἀλλ' οὐδεὶς τῶν παίδων ἱκανὸς ἦν. Τότε οὖν ὁ γέρων τὴν δέσμην ἔλυσε καὶ ἐνεχείρισεν αὐτοῖς τὰς ῥάβδους ἀνὰ μίαν· τούτῳ δὲ τῷ τρόπῳ οἱ παῖδες ῥᾳδίως τὰς ῥάβδους ἔθραυσαν. Καὶ ὁ γέρων ἔφη· «ὦ παῖδες, ταύτῃ τῇ δέσμῃ ὅμοιοί ἐστε· ἐὰν μὲν γὰρ ἐν ὁμονοίᾳ πρὸς ἀλλήλους βούλησθε διάγειν, ἀνίκητοι ἔσεσθε· ἂν δ' ἀλλήλοις ἐρίζητε, πᾶς ἐχθρὸς ἱκανὸς ἔσται ὑμῶν περιγίγνεσθαι.

6) *Αἰθίοψ.* — Αἰθιοπά τις ὠήσατο τοιοῦτον εἶναι τὸ χρῶμα δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος. Καὶ παραλαβὼν οἰκαδε πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα[2], πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καθαίρειν· καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ ἔσχε[3], νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

7) *Ὄνος ἄγριος.* — Ὄνος ἄγριος ὄνον ἥμερον θεασάμενος ἐν εὐηλίῳ τόπῳ ἐμακάριζεν ἐπὶ τῇ εὐεξίᾳ τοῦ σώματος καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. Ὑστερον δὲ ἰδὼν αὐτὸν ἄχθος φέροντα καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον καὶ ῥοπάλῳ αὐτὸν πλήττοντα εἶπεν· «ἀλλ' ἐγὼ οὐκέτι σε εὐδαιμονίζω· ὁρῶ γάρ, ὅτι οὐκ ἄ ευ μεγάλων κακῶν τὴν εὐδαιμονίαν ἔχεις».

8) *Γεωργὸς καὶ ὄφις.*—Γεωργὸς χειμῶνος ὥρᾳ ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα, τοῦτον ἐλεήσας καὶ λαβὼν ὑπὸ κόλπον ἔθετο. Θερμανθεὶς δ' ἐκεῖνος καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν ἔδηξε τὸν εὐεργέτην.

9) *Λύκος καὶ ἀμνός.* — Λύκος ἀμνὸν ἐδίωκεν· ὁ δὲ εἰς ναὸν κατέφυγε. Προσκαλουμένου δ' αὐτὸν τοῦ λύκου καὶ λέγοντος, ὅτι θύσει αὐτὸν ὁ ἱερεὺς τῷ θεῷ, ἢν συλλάβῃ, ἐκεῖνος ἔφη· «ἀλλ' αἱρετώτερόν μοί ἐστι θεοῦ θυσίαν γενέσθαι ἢ ὑπὸ σοῦ διαφθαρῆναι».

10) *Χελώνη καὶ ἀετός.* — Χελώνη ἀετοῦ ἐδεῖτο πέτεσθαι αὐτὴν διδάξαι. Τοῦ δὲ λέγοντος πόρρω τῆς φύσεως αὐτῆς τοῦτο εἶναι, ἐκείνη μᾶλλον ἐδεῖτο. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀνενεγκὼν εἶτα ἀφῆκεν. Ἡ δὲ κατὰ πετρῶν πεσοῦσα συνετρίβη.

11) *Γυνὴ καὶ ὄρνις.* — Γυνὴ χήρα ὄρνιν εἶχε καθ' ἑκάστην ᾠὸν αὐτῇ τίκτουσαν· νομίσασα δὲ ὡς, εἰ πλείους τῇ

ὄρνιθι κριθὰς παραβάλοι[4], δὶς τέξεται τῆς ἡμέρας, τοῦτο ἐποίησεν. Ἡ δ' ὄρνις πιμελὴς γενομένη οὐδὲ ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

12) *Ταῦροι καὶ λέων.* — Ταῦροι τρεῖς τῇ αὐτῇ διαίτῃ χρώμενοι[5] ὁμοῦ ἐνέμοντο. Λέων δ' αὐτοῖς παρηκολούθει θηρᾶσαι βουλόμενος. Καὶ συνόντας μὲν ἐλεῖν οὐκ ἠδύνατο, διαστάντας δὲ προῃρεῖτο χειρώσασθαι. Συγκρούσας οὖν αὐτοὺς καὶ διαστήσας καθ' ἕκαστον ταχέως ἔφθειρεν, οὓς συνόντας ἠπόρει χειρώσασθαι.

13) *Ἵππος καὶ ὄνος.* — Ἄνθρωπός τις εἶχεν ἵππον καὶ ὄνον. Ὀδευόντων δ' εἶπεν ὁ ὄνος τῷ ἵππῳ· «ἆρον τοῦ ἐμοῦ βάρους[6], εἰ θέλεις εἶναί με σῶν», ὁ δὲ οὐκ ἐπείσθη· ὁ δὲ ὄνος πεσὼν ἐκ τοῦ κόπου ἐτελεύτησε. Τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ καὶ αὐτὴν τὴν τοῦ ὄνου δοράν, θρηνῶν ὁ ἵππος ἐβόα· «Οἴμοι τῷ παναθλίῳ! τί μοι συνέβη τῷ ταλαιπώρῳ! οὐ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω καὶ τὸ δέρμα».

14) *Γεωργὸς καὶ παῖδες αὐτοῦ.* — Γεωργὸς μέλλων καταλύειν τὸν βίον[1] καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς ἔφη· «παῖδες ἐμοί, ἐγὼ μὲν ἤδη τοῦ βίου ὑπέξειμι[8], ὑμεῖς δ', ἅπερ ἐν τῇ ἀμπέλῳ μου[9] κέκρυπται, ζητήσαντες εὑρήσετε πάντα.» Οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι[10] πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὸν θάνατον τοῦ πατρὸς κατέσκαψαν. Καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δ' ἄμπελος καλῶς σκαφεῖσα πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκε.

15. *Ἔλαφος καὶ ἄμπελος.* — Ἔλαφος κυνηγοὺς φεύγουσα ὑπ' ἄμπελον ἑαυτὴν ἀπέκρυψεν. Ἐκείνων οὖν ὀλίγον παρελθόντων ἡ ἔλαφος ἤρξατο τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν.

Τούτων δὲ σειομένων οἱ κυνηγοὶ ἐπιστραφέντες καὶ νομίσαντες ζῷόν τι ὑπὸ τοῖς φύλλοις κρύπτεσθαι βέλεσιν ἀνεῖλον τὴν ἔλαφον. Ἡ δὲ θνήσκουσα ἔφη· «δίκαια πέπονθα· οὐ γὰρ ἔδει με ἀδικεῖ[11] τὴν εὐεργετοῦσαν».

16. *Χελώνη καὶ λαγώς.* — Χελώνη καὶ λαγὼς περὶ ὠκύτητος ἤριζον· καὶ δὴ προθεσμίαν στήσαντες καὶ τόπον ἀπηλλάγησαν. Ὁ μὲν οὖν λαγὼς διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας τοῦ δρόμου καὶ κατακλιθεὶς παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο· ἡ δὲ χελώνη συνειδυῖα ἑαυτῇ[13] τὴν βραδύτητα οὐ διέλιπε τρέχουσα[14], καὶ οὕτω τὸν λαγὼ παραδραμοῦσα εἰς τὸ τέρμα τῆς ὁδοῦ ἀφίκετο καὶ ἔτυχε τῆς νίκης.

17. *Λέων καὶ λαγώς.* — Λέων ἐπιτυχὼν λαγῷ κοιμωμένῳ τοῦτον ἔμελλε καταφαγεῖν· μεταξὺ δὲ ἰδὼν ἔλαφον παριοῦσαν ἀφεὶς τὸν λαγὼ ἐκείνην ἐδίωκεν. Ὁ μὲν οὖν ἀπὸ τῶν ψόφων ἐξαναστὰς ἔφυγεν· ὁ δὲ λέων ἐπὶ πολὺ διώξας τὴν ἔλαφον, ἐπειδὴ καταλαβεῖν οὐκ ἠδυνήθη ἐπανῆλθεν ἐπὶ τὸν λαγών· εὑρὼν δὲ καὶ τοῦτον πεφευγότα ἔφη· «ἀλλ' ἔγωγε δίκαια πάσχω, ὅτι ἀφεὶς τὴν ἐν χερσὶ βορὰν ἐλπίδα μείζονα προύκρινα».

18. *Ὁδοιπόροι καὶ ἄρκτος.* Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον· ἄρκτου δὲ αὐτοῖς ἐπιφανείσης ὁ μὲν εἰς φθάσας[15] ἀνέβη ἐπί τι δένδρον καὶ ἐνταῦθα ἐκρύπτετο· ὁ δὲ ἕτερος μέλλων περικατάληπτος γενέσθαι πεσὼν ἐπὶ τοῦ ἐδάφους ἑαυτὸν νεκρὸν προσεποιεῖτο. Τῆς δ' ἄρκτου προσενεγκούσης αὐτῷ τὸ ῥύγχος καὶ περιοσφραινομένης, τὰς ἀναπνοὰς συνεῖχε· φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὸ ζῷον. Ἀπαλλαγείσης δέ, ὁ ἀπὸ τοῦ δένδρου καταβὰς ἐπυνθάνετο τοῦ ἑτέρου τί ἡ ἄρκτος πρὸς τὸ οὖς, εἰρήκοι· ὁ δ' εἶπε· τοῦ λοιποῦ τοιούτοις μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις οὐ παραμένουσι.

4. Διηγήματα καὶ περιγραφαί.

1) Κλεάνθης εἰς ὄστρακα καὶ βοῶν ὠμοπλάτας ἔγραφεν, ἄτερ ἥκουε παρὰ Ζήνωνος τοῦ φιλοσόφου ἀπορίᾳ κερμάτων, ὥστε πρίασθαι χαρτία. Διεβοήθη δ' ἐπὶ φιλοπονίᾳ· πένης γὰρ ὢν νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ' ἡμέραν δ' ἐν τοῖς λόγοις[1] ἐγυμνάζετο.

2) Ἐπαμεινώνδας ἕνα εἶχε τριβωνα καὶ αὐτὸν ῥυπῶντα· εἴ ποτε δ' αὐτὸν ἐδίδου εἰς γναφεῖον, αὐτὸς ὑπέμενεν οἴκοι δι' ἀπορίαν ἑτέρου. Ἐν δὴ τούτοις τῆς περιουσίας ὢν[2] τοῦ Περσῶν βασιλέως πέμψαντος αὐτῷ πολὺν χρυσὸν οὐ προσεδέξατο.

3) Τοὺς ἀσώτους καὶ τοὺς μὴ ἔκ τινος περιουσίας ζῶντας τὸ παλαιὸν ἀνεκαλοῦντο[3] οἱ Ἀρεοπαγῖται καὶ ἐκόλαζον. Μενέδημον γοῦν καὶ Ἀσκληπιάδην τοὺς φιλοσόφους νέους ὄντας καὶ πενομένους μεταπεμψάμενοι ἠρώτησαν πῶς ὅλης τῆς ἡμέρας τοῖς φιλοσόφοις σχολάζοντες,[4] κεκτημένοι δὲ οὐδὲν εὐεκτοῦσιν οὕτω τοῖς σώμασι. Καὶ ἐκεῖνοι ἐκέλευσαν μεταπεμφθῆναί τινα τῶν μυλωθρῶν. Ἐλθόντος δ' ἐκείνου καὶ εἰπόντος ὅτι νυκτὸς ἑκάστης κατιόντες εἰς τὸν μυλῶνα καὶ ἁλοῦντες δύο δραχμὰς λαμβάνουσιν ἀμφότεροι, θαυμάσαντες οἱ Ἀρεοπαγῖται διακοσίαις δραχμαῖς ἐτίμησαν αὐτούς.

4) Ἀθηναίοις καὶ Πελοποννησίοις πόλεμος ἦν. Ὁ δὲ θεὸς ἔχρησε νικᾶν τοὺς Ἀθηναίους, εἰ ὁ βασιλεὺς αὐτῶν ἀποθάνοι[5] πρὸς ἀνδρὸς Πελοποννησίου. Ἦν δὲ βασιλεὺς τότε Ἀθηναίων Κόδρος. Τῶν δὲ πολεμίων τὸ λόγιον[6] εἰδότων, κοινὸν ἦν αὐτοῖς παράγγελμα ἐν ταῖς μάχαις ἀπέχεσθαι Κόδρου. Ὁ δὲ σχῆμα φρυγανιστῆρος λαβὼν καὶ τοῦ χάρακος προελθὼν ἔτεμνε τὴν ὕλην. Ἔτυχον δὲ καὶ Πελοποννήσιοι ἄνδρες κατὰ φρυγανισμὸν[7] ἥκοντες. Τούτοις ἀψιμαχεῖ Κόδρος, ὥστε καὶ τὸ δρέπανον ἐπ' αὐτοὺς ἀνατείναμενος

ἔτρωσέ τινα. Οἱ δὲ φθάσαντες[8], κατακαίνουσιν αὐτὸν τοῖς δρεπάνοις καὶ χαίροντες ἀπηλλάγησαν ὡς ἀνδραγάθημα δὴ πεποιηκότες[9]. Τηνικαῦτα παιανίσαντες Ἀθηναῖοι, τοῦ λογίου πεπληρωμένου, θυμῷ[10] καὶ ῥώμῃ πλείονι πορεύονται εἰς μάχην. καὶ πρὸ τῆς μάχης κήρυκα πέμψαντες ᾔτησαν ἀναίρεσιν τοῦ βασιλέως[11]. Οἱ οὖν Πελοποννήσιοι συνέντες[12] τὸ γεγονὸς ἔφυγον.

5) Ὁ κροκόδειλός ἐστι ζῷον τετράπουν, χερσαῖον καὶ λιμναῖον· τίκτει μὲν γὰρ ᾠὰ ἐν γῇ καὶ ἐκλέπει καὶ τὸ πολὺ τῆς ἡμέρας διατρίβει ἐν τῷ ξηρῷ, τὴν δὲ νύκτα πᾶσαν ἐν τῷ ποταμῷ. Ἔχει δὲ ὀφθαλμοὺς μὲν ὑός, ὀδόντας δὲ μεγάλους, ὄνυχας δὲ κρατεροὺς καὶ δέρμα λεπιδωτόν, ἄρρηκτον ἐπὶ τοῦ νώτου. Γλῶσσαν δὲ μόνον τῶν θηρίων οὐκ ἔχει. Ἐπεὶ δὲ δίαιταν ποιεῖται ἐν τῷ ὕδατι, τὸ στόμα ἔνδοθεν πληροῦται βδελλῶν. Τα μὲν ἄλλα ὄρνεα φεύγει αὐτόν, ὁ δὲ τροχίλος εἰσδύων εἰς τὸ στόμα αὐτοῦ καταπίνει τὰς βδέλλας· ὁ δὲ κροκόδειλος ὠφελούμενος ἥδεται καὶ οὐ σίνεται τὸν τροχίλον.

6) Ἡ χελώνη τίκτει ἀναβαίνουσα τῆς θαλάττης πλησίον. Ἐπῳάζειν δὲ οὐ δύναται οὐδὲ χερσεύειν πολὺν χρόνον. Κατορύσσει οὖν ἐν τῇ ψάμμῳ τὰ ᾠὰ καὶ ἐπισωρεύει τῆς θινὸς τὸ λειότατον καὶ μαλακώτατον· εἶτα δὲ τοῖς ποσὶν ἀμύττει καὶ καταστίζει τὸν τόπον, ὥστε εὔτημον αὐτὸν ποιεῖν. Ὅτε δὲ ἡ τεσσαρακοστὴ ἡμέρα φαίνεται, ἐπανέρχεται καὶ γινώσκουσα τὸν ἑαυτῆς θησαυρὸν ἀσμένως ἀνοίγει καὶ προθύμως.

7) Ἡ ἄρκτος παμφάγον ζῷόν ἐστι· καὶ γὰρ καρπὸν ἐσθίει καὶ ἀναβαίνει ἐπὶ τὰ δένδρα διὰ τὴν ὑγρότητα[13] τοῦ σώματος καὶ τοὺς χέδροπας ἐσθίει καὶ μέλι καὶ καρκίνους καὶ μύρμηκας καὶ σάρκας· διὰ δὲ τὴν ἰσχὺν ἐπιχειρεῖ[14] οὐ μόνον ταῖς ἐλάφοις καὶ τοῖς ἀγρίοις ὑσίν, ἀλλὰ καὶ τοῖς ταύροις· τοῖς μὲν βραχίοσι τὰ κέρατα περιλαμβάνει, τῷ δὲ

στόματι τὴν ἀκρωμίαν δάκνει καὶ καταβάλλει τὸν ταῦρον.

8) Πάντων τιθασσότατον τῶν ἀγρίων ἐστὶν ὁ ἐλέφας· πολλὰ γὰρ καὶ παιδεύεται καὶ ξυνίησιν, ἐπεὶ καὶ προσκυνεῖν διδάσκονται τὸν βασιλέα. Ζῆν δέ φασι τὸν ἐλέφαντα οἱ μὲν ἔτη διακόσια, οἱ δὲ ἑκατὸν εἴκοσιν, ἀκμάζειν δὲ περὶ ἔτη ἑξήκοντα. Πρὸς δὲ τοὺς χειμῶνας καὶ τὰ ψύχη δύσριγον εἶναι. Ἔστι δὲ τὸ ζῷον παραποτάμιον, οὐ ποτάμιον· ποιεῖται δὲ καὶ διὰ τοῦ ὕδατος τὴν πορείαν· ἕως τούτου δὲ προέρχεται[15], ἕως ἂν ὁ μυκτὴρ ὑπερέχει αὐτοῦ[16]· ἀναφυσᾷ γὰρ διὰ τούτου καὶ τὴν ἀναπνοὴν ποιεῖται· νεῖν δὲ οὐ πάνυ δύναται διὰ τὸ τοῦ σώματος βάρος.

Μάχονται δ' οἱ ἐλέφαντες πρὸς ἀλλήλους καὶ τύπτουσι τοῖς ὀδοῦσιν ἀλλήλοις. Ὁ δὲ ἡττηθεὶς δουλοῦται ἰσχυρῶς[17] καὶ οὐχ ὑπομένει τὴν τοῦ νικήσαντος φωνήν. Διαφέρουσι δὲ καὶ τῇ ἀνδρείᾳ ἀλλήλων οἱ ἐλέφαντες θαυμαστοῦ ὅσον[18]. Αἱ θήλειαι δ' εἰσὶν ἐλάττονες τῶν ἀρρένων καὶ ἀψυχότεραι[19] πολύ. Τοὺς δὲ τοίχους καταβάλλει ὁ ἐλέφας τοῖς ὀδοῦσι τοῖς μεγάλοις προσβάλλων, τοὺς δὲ φοίνικας τῷ μετώπῳ, ἕως ἂν κατακλίνῃ, ἔπειτα τοῖς ποσὶν ἐπιβαίνων κατατείνει ἐπὶ τῆς γῆς.

---

5. Μυθολογία.

Οὐρανὸς καὶ Γῆ.

Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου· γήμας δὲ Γῆν ἐτέκνωσε πρώτους τοὺς ἑκατόγχειρας προσαγορευθέντας, Βριάρεων, Γύην, Κόττον, οἳ μεγέθει τε ἀνυπέρβλητοι καὶ δυνάμει καθειστήκεσαν χεῖρας μὲν ἀνὰ ἑκατόν, κεφαλὰς δὲ ἀνὰ πεντήκοντα ἔχοντες. Μετὰ τούτους δὲ αὐτῷ τεκνοῖ Γῆ Κύκλωπας, Ἄργην, Στερόπην, Βρόντην, ὧν ἕκαστος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τῷ μετώπῳ. Ἀλλὰ τούτους μὲν

Οὐρανὸς δήσας εἰς Τάρταρον ἔρριψε (τόπος δ' οὗτος ἐρεβώδης ἐστὶν ἐν Ἅιδου, τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα, ὅσον ἀπ' οὐρανοῦ γῆ)· τεκνοῖ δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν Τιτᾶνας, προσαγορευθέντας Ὠκεανόν, Κοῖον, Ὑπερίονα, Ἰαπετὸν καὶ νεώτατον ἁπάντων Κρόνον, θυγατέρας δὲ τὰς κληθείσας Τιτανίδας, Τηθύν, Ρέαν, Θέμιν, Μνημοσύνην, Θοίβην, Διώνην καὶ Θείαν.

Κρόνος καὶ Ρέα.

Ἀγανακτοῦσα Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρταρον ριφθέντων παίδων πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι τῷ πατρί. Οἱ δὲ τῆς ἀρχῆς ἐκβαλόντες τὸν Οὐρανὸν τούς τε καταταρταρωθέντας ἀνήγαγον ἀδελφοὺς καὶ τὴν ἀρχὴν Κρόνῳ παρέδοσαν. Ὁ δὲ τούτοις μὲν ἐν τῷ Ταρτάρῳ πάλιν δήσας καθεῖρξε, τὴν δὲ ἀδελφὴν Ρέαν γήμας, ἐπειδὴ Γῆ τε καὶ Οὐρανὸς ἐθεσπίῳδουν αὐτῷ λέγοντες ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι, κατέπινε τὰ γεννώμενα. Καὶ πρώτην μὲν γεννηθεῖσαν Ἑστίαν κατέπιεν, εἶτα Δήμητρα καὶ Ἥραν, μεθ' ἃς Πλούτωνα καὶ Ποσειδῶνα. Ὀργισθεῖσα δ' ἐπὶ τούτοις Ρέα, ὃν ὕστερον ἐγέννησεν ἐν Κρήτῃ Δία, δίδωσι τρέφεσθαι Κουρῆσί τε καὶ τοῖς Μελισσέως[1] παισὶ νύμφαις, Ἀδραστείᾳ τε καὶ Ἴδῃ. Αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας γάλακτι, οἱ δὲ Κουρῆτες ἔνοπλοι ἐν ἄντρῳ τῆς Δίκτης τὸ βρέφος φυλάσσοντες τοῖς δόρασι τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούσῃ. Ρέα δὲ λίθον σπαργανώσασα ἔδωκε Κρόνῳ καταπιεῖν ὡς τὸν γεγεννημένον[2] παῖδα.

Ἐπειδὴ[3] Ζεὺς ἐγένετο τέλειος, λαμβάνει Μῆτιν τὴν Ὠκεανοῦ συνεργόν, ἣ δίδωσι Κρόνῳ καταπιεῖν φάρμακον, ὑφ' οὗ ἐκεῖνος ἀναγκασθεὶς πρῶτον μὲν ἐξεμεῖ τὸν λίθον,

ἔπειτα τοὺς παῖδας, οὓς κατέπιε, μεθ' ὧν Ζεὺς τὸν πρὸς Κρόνον καὶ Τιτᾶνας ἐξήνεγκε[4] πόλεμον. Μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα, ἡ Γῆ τῷ Διὶ ἔχρησε τὴν νίκην, τοὺς καταταρταρωθέντας ἂν ἔχῃ συμμάχους· ὁ δὲ τὴν φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην ἀποκτείνας ἔλυσε. Καὶ Κύκλωπες τότε Διὶ μὲν διδόασι βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν, Πλούτωνι δὲ κυνῆν, Ποσειδῶνι δὲ τρίαιναν. Οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι Τιτάνων καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ Ταρτάρῳ τοὺς ἑκατόγχειρας καθιστῶσι φύλακας. Αὐτοὶ δὲ διακληροῦνται[3] περὶ τῆς ἀρχῆς καὶ λαγχάνει[7] Ζεὺς μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάττῃ, Πλούτων δὲ τὴν ἐν ᾅδου.

Γίγαντες.

Γῆ περὶ Τιτάνων ἀγανακτοῦσα γεννᾷ Γίγαντας ἐξ Οὐρανοῦ μεγέθει μὲν σωμάτων ἀνυπερβλήτους, δυνάμει δὲ ἀκαταγωνίστους, οἳ φοβεροὶ ταῖς ὄψεσι κατεφαίνοντο. Ἐγένοντο δέ, ὡς μέν τινες λέγουσιν, ἐν Φλέγραις, ὡς δὲ ἄλλοι ἐν Παλλήνῃ. Ἠκόντιζον δὲ εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας. Διέφερε δὲ πάντων Πορφυρίων τε καὶ Ἀλκυονεύς, ὃς δὴ καὶ ἀθάνατος ἦν ἐν ᾗπερ ἐγεννήθη γῇ μαχόμενος. Τοῖς δὲ θεοῖς λόγιον ἦν ὑπὸ θεῶν μὲν μηδένα τῶν Γιγάντων ἀπολέσθαι δύνασθαι, συμμαχοῦντος δὲ θνητοῦ τινος τελευτήσειν. Αἰσθομένη δὲ Γῆ τοῦτο ἐζήτει φάρμακον, ἵνα μηδὲ ὑπὸ θνητοῦ δυνηθῶσιν ἀπολέσθαι. Ζεὺς δὲ ἀπείπων[8] φαίνειν Ἠοῖ τε καὶ Σελήνῃ καὶ Ἡλίῳ τὸ μὲν φάρμακον αὐτὸς ἔτεμε φθάσας[9], Ἡρακλέα δὲ σύμμαχον δι' Ἀθηνᾶς ἐπεκαλέσατο. Κἀκεῖνος πρῶτον μὲν ἐτόξευσεν Ἀλκυονέα· ὁ δ' ἐπὶ τῆς γῆς μᾶλλον ἀνεθάλπετο. Ἀθηνᾶς δὲ ὑποθεμένης[10] ἔξω τῆς Παλλήνης εἵλκυσεν αὐτόν.

Κἀκεῖνος μὲν οὕτως ἐτελεύτα. Πορφυρίων δὲ Ἡρακλεῖ κατὰ μάχην ἐφώρμησε καὶ Ἥρᾳ· καὶ Διὸς κεραυνώσαντος αὐτόν, Ἡρακλῆς τοξεύσας ἀπέκτεινε. Τῶν δὲ λοιπῶν Ἀπόλλων μὲν Ἐφιάλτου τὸν ἀριστερὸν ἐτόξευσεν ὀφθαλμόν, Ἡρακλῆς δὲ τὸν δεξιόν, Εὔρυτον δὲ θύρσῳ Διόνυσος ἀπέκτεινε, Κλυτίον δὲ Ἥφαιστος βαλὼν μύδροις, Ἀθηνᾶ δ' Ἐγκελάδῳ φεύγοντι Σικελίαν ἐπέρριψε τὴν νῆσον, Πολυβώτης δὲ διὰ τῆς θαλάττης διωχθεὶς ὑπὸ τοῦ Ποσειδῶνος ἦκεν εἰς Κῶν, Ποσειδῶν δὲ μέρος τῆς νήσου ἀπορρήξας ἐπέρριψεν αὐτό, τὸ λεγόμενον Νίσυρον, Ἑρμῆς δὲ τὴν Ἅιδου κυνῆν ἔχων κατὰ τὴν μάχην Ἱππόλυτον ἀπέκτεινεν, Ἄρτεμις δὲ Γρατίωνα· Μοῖραι δὲ Ἄγριον καὶ Θόωνα χαλκοῖς ῥοπάλοις μαχομένους· τοὺς δ' ἄλλους κεραυνοῖς Ζεὺς βαλὼν διέφθειρε, πάντας δὲ Ἡρακλῆς ἀπολλυμένους ἐτόξευσε.

Προμηθεύς.

Προμηθεὺς Ἰαπετοῦ υἱὸς ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας ἔδωκεν αὐτοὺς τὸ πῦρ λάθρα Διὸς ἐν νάρθηκι[14] κρύψας. Ὡς δὲ ᾔσθετο Ζεύς, ἐπέταξεν Ἡφαίστῳ τὸ σῶμα αὐτοῦ τῷ Καυκάσῳ ὄρει προσηλῶσαι· τοῦτο δὲ σκυθικὸν ὄρος ἐστίν. Ἐν δὲ τούτῳ προσηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν ἐδέδετο. Καθ' ἑκάστην δ' ἡμέραν ἀετὸς ἐπιπετόμενος αὐτοῦ τοὺς λοβοὺς τῶν ἡπάτων ἐνέμετο[12] αὐξανομένων διὰ νυκτός. Καὶ Προμηθεὺς πυρὸς κλαπέντος δίκην ἔτινε ταύτην μέχρι Ἡρακλῆς αὐτὸν ἔλυσε.

Δευκαλίων.

Προμηθέως παῖς Δευκαλίων ἐγένετο. Οὗτος βασιλεύων τῶν περὶ Φθίαν τόπων νυμφεύεται Πύρραν, τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν οἱ θεοὶ πρώτην γυναῖκα. Ἐπεὶ

δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν γένος ἠθέλησεν, ὑποθεμένου[13] Προμηθέως, Δευκαλίων τεκτηνάμενος λάρνακα καὶ τὰ ἐπιτήδεια ἐνθέμενος εἰς ταύτην μετὰ Πύρρας εἰσέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους ὀλίγων χωρίς[14] οἳ συνέφυγον εἰς τὰ πλησίον ὑψηλὰ ὄρη.

Δευκαλίων δ' ἐν τῇ λάρνακι διὰ τῆς θαλάττης φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας ἴσας τῷ Παρνασσῷ προσίσχει[15]· κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων ἐκβὰς ἔθυσε τῷ Διὶ Φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτεῖσθαι ὅ,τι βούλεται, ὁ δὲ αἰτεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. Καὶ Διὸς εἰπόντος, ὑπὲρ κεφαλῆς ἄιρων ἔβαλε λίθους· καὶ οὓς μὲν ἔβαλε Δευκαλίων ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα γυναῖκες· ὅθεν καὶ λαοὶ μεταφορικῶς ὠνομάσθησαν ἀπὸ τοῦ λᾶας, ὁ λίθος. Γίγνονται δ' ἐκ Πύρρας Δευκαλίωνι παῖδες Ἕλλην μὲν πρῶτος, δεύτερος δὲ Ἀμφικτύων, ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττικῆς, θυγάτηρ δὲ Πρωτογένεια. Ἕλληνος δὲ καὶ νύμφης Ὀρσηίδος ἐγένοντο Δῶρος, Ξοῦθος, Αἴολος. Αὐτὸς μὲν οὖ ἀφ' αὑτοῦ τοὺς καλουμένους Γραικοὺς προσηγόρευσεν Ἕλληνας, τοῖς δὲ παισὶν ἐμέρισε τὴν χώραν. Καὶ Ξοῦθος μὲν λαβὼν τὴν Πελοπόνγησον Ἀχαιὸν ἐγέννησε καὶ Ἴωνα, ἀφ' ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦνται. Δῶρος δὲ τὴν πέραν χώραν Πελοποννήσου λαβὼν τοὺς κατοίκους ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν, Αἴολος δὲ βασιλεύων τῶν περὶ τὴν Θεσσαλίαν τόπων τοὺς ἐνοικοῦντας Αἰολεῖς προσηγόρευσε.

Ἅδης.

Οἱ πολλοί, οὓς ἰδιώτας[5] οἱ σοφοὶ καλοῦσιν, Ὁμήρῳ τε καὶ Ἡσιόδῳ πειθόμενοι τόπον τινὰ ὑπὸ τῇ γῇ πάνυ βαθὺν

Ἅδην ὑπειλήφασι μέγαν τε καὶ πολύχωρον τοῦτον εἶναι καὶ ζοφερὸν καὶ ἀνήλιον· βασιλεύει δὲ τοῦ χάσματος ἀδελφὸς τοῦ Διὸς Πλούτων κεκλημένος· περιρρεῖται δὲ ἡ χώρα αὐτοῦ ποταμοῖς μεγάλοις τε καὶ φοβεροῖς καὶ ἐκ μόνων τῶν ὀνομάτων. Κωκυτοὶ γὰρ καὶ Πυριφλεγέθοντες καὶ τὰ τοιαῦτα κέκληνται. Τὸ δὲ μέγιστον[17] ἡ Ἀχερουσία λίμνη πρόκειται πρώτη δεχομένη τοὺς ἀπαντῶντας[18], ἢν οὐκ ἔνι[19] διαπλεῦσαι ἢ παρελθεῖν ἄνευ τοῦ πορθμέως· πρὸς δὲ αὐτῇ τῇ καθέδῃ[20] καὶ πύλη οὔτη ἀδαμαντίνη[21] ἀδελφιδοῦς τοῦ βασιλέως Αἰακός ἐστι τὴν φρουρὰν ἐπιτεταμμένος καὶ παρ' αὐτῷ κύων τρικέφαλος Κέρβερος καλούμενος· περαιωθέντας δὲ τὴν λίμνην λειμὼν ὑποδέχεται μέγας καὶ ποτὸν μνήμης πολέμιον· λήθης γοῦν διὰ τοῦτο ὀνόμασται. Ὁ μὲν οὖν Πλούτων καὶ ἡ Περσεφόνη δυναστεύουσιν, ὑπηρετοῦσι δὲ αὐτοὺς Ἐρινύες καὶ Φόβοι καὶ Ἑρμῆς. Δικασταὶ δὲ κάθηνται δύο Μίνως τε καὶ Ραδάμανθυς, Κρῆτες ὄντες καὶ υἱοὶ τοῦ Διός· οὗτοι δὲ τοὺς μὲν ἀγαθοὺς τῶν ἀνδρῶν καὶ δικαίους πέμπουσιν εἰς τὸ Ἠλύσιον πεδίον τῷ ἀρίστῳ βίῳ συνεσομένους,[22] τοὺς δὲ πονηροὺς ταῖς Ἐρινύσι παραδόντες εἰς τὸν τῆς κολάσεως χῶρον ἐκπέμπουσιν.

---

6. Λουκιανοῦ Διάλογοι.

Ἡφαίστου καὶ Διός.

Ἥφαιστος·— Τί με, ὦ Ζεῦ, χρὴ ποιεῖν; ἥκω γάρ, ὡς ἐκέλευσας, ἔχειν τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθον δέοι μιᾷ πληγῇ διακοψαι.[1]

Ζεύς.— Εὖγε, ὦ Ἥφαιστε, ἀλλὰ δίελέ μου τὴν κεφαλὴν εἰς δύο κατενεγκών.[2]

Ἥφαιστος.— Πειρᾷ μου, εἰ μέμηνα;[3] πρόσταττε δ' οὖν τί ἄλλο, ὅπερ ἐθέλεις σοι γενέσθαι.

Ζεύς.— Τοῦτ' αὐτὸ διαιρεθῆναί μοι τὸ κρανίον· εἰ δὲ ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσει μου,[4] ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ μηδὲ μέλλειν[5] ἀπόλλυμαι γὰρ ὑπὸ ὠδίνων, αἵ μοι τὸν ἐγκέφαλον ἀναστρέφουσι.

Ἥφαιστος.—Ὅρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι καὶ οὐκ ἀναιμωτὶ οὐδὲ κατὰ τὴν Εἰλήθειαν[6] μαιώσεταί σε.

Ζεύς.—Κατένεγκε μόνον, ὦ Ἥφαιστε, θαρρῶν· οἶδα ἐγὼ τὸ συμφέρον.

Ἥφαιστος.— Ἄκων μέν, κατοίσω δέ· τί γὰρ χρὴ ποιεῖν σοῦ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος; μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γοῦν ὀξυθυμος ἦσθα τηλικαύτην ὑπὸ τῇ μήνιγγι παρθένον ζωογονῶν καὶ ταῦτα[7] ἔνοπλον. Ἥ που[8] στρατόπεδον, οὐ κεφαλὴν ἐλελήθεις[9] ἔχων. Ἡ δὲ πηδᾷ καὶ πυρριχίζει καὶ τὴν ἀσπίδα τινάσσει καὶ τὸ δορυ πάλλει καὶ ἐνθουσιᾷ, καὶ τὸ μέγιστον[10] καλὴ πάνυ καὶ ἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ· γλαυκῶπις μέν, ἀλλὰ κομεῖ καὶ τοῦτο ἡ κόρυς· ὥστε, ὦ Ζεῦ, μαίωτρά μοι ἀπόδος ἐγγυήσας[11] ἤδη αὐτήν.

Ζεύς.— Ἀδύνατα αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος γὰρ ἀεὶ ἐθελήσει μένειν, ἐγὼ δ' οὖν τὸ γ' ἐπ' ἐμοὶ[12] οὐδὲν ἀντιλέγω.

Ἥφαιστος.— Τοῦτ' ἐβουλόμην· ἐμοὶ μελήσει τὰ λοιπὰ καὶ ἤδη συναρπάσω αὐτήν.

Ζεύς.— Εἴ σοι ῥᾴδιον, οὕτω ποίει· πλὴν οἶδα, ὅτι ἀδυνάτων ἐρᾷς.

Χάρωνος καὶ Μενίππου.

Χάρων. — Ἀπόδος, ὦ κατάρατε, τὰ πορθμεῖα[13].

Μένιππος. — Βόα, εἰ τοῦτό σοι, ὦ Χάρων, ἥδιον.

Χάρων. — Ἀπόδος φημί, ἀνθ' ὧν σε διεπορθμευσάμην.

Μένιππος. — Οὐκ ἄν λάβοις[14] παρὰ τοῦ μὴ ἔχοντος.

Χάρων. — Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων;

Μένιππος. — Εἰ μὲν καὶ ἄλλος τις οὐκ οἶδα· ἐγὼ δὲ οὐκ ἔχω.

Χάρων. — Καὶ μὴν[15] ἄγξω σε, νὴ τὸν Πλούτωνα, ὦ μιαρέ, ἢν μὴ ἀποδῷς.

Μένιππος. — Κἀγὼ τῷ ξύλῳ σου[16] πατάξας διαλύσω τὸ κρανίον.

Χάρων. — Μάτην οὖν ἔσει πεπλευκὼς τοσοῦτον πλοῦν:

Μένιππος. — Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ[17] σοι ἀποδότω, ὃς με παρέδωκέ σοι.

Ἑρμῆς. — Νὴ Δι' ὠνάμην γε,[18] εἰ μέλλω καὶ ὑπερεκτίνειν[19] τῶν νεκρῶν.

Χάρων. — Οὐκ ἀποστήσομαί σου.

Μένιππος. — Τούτου γε ἕνεκα καὶ νεωλκήσας τὸ πορθμεῖον παράμενε· πλὴν ἀλλ' ὅγε μὴ ἔχω, πῶς ἂν λάβοις;

Χάρων. — Σὺ δὲ οὐκ ἤδεις ὡς κομίζεσθαι δέον;[20]

Μένιππος. — Ἤδειν μέν, οὐκ εἶχον δέ· τί οὖν; ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν;

Χάρων. — Μόνος οὖν αὐχήσεις προῖκα πεπλευκέναι;

Μένιππος. — Οὐ προῖκα, ὦ βέλτιστε, καὶ γὰρ ἥντλησα[21] καὶ τῆς κώπης συνεπελαβόμην καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν.

Χάρων. — Οὐδὲν ταῦτα πρὸς πορθμέα· τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ. Οὐ θέμις ἄλλως γενέσθαι.

Μένιππος. — Οὐκοῦν ἄπαγέ με αὖθις εἰς τὸν βίον.

Χάρων. — Χαρίεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ προσλάβω.

Μένιππος. — Μὴ ἐνόχλει οὖν,

Χάρων. — Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις.

Μένιππος. — Θέρμους, εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον[22].

Χάρων. — Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα ἤγαγες; οἷα δὲ καὶ ἐλάλει παρὰ τὸν πλοῦν τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν καὶ ἐπισκώπτων καὶ μόνος ᾄδων οἰμωζόντων ἐκείνων.

Ἑρμῆς. — Ἀγνοεῖς, ὦ Χάρων, ὃν τινα ἄνδρα διεπόρθμευσας· ἐλεύθερον ἀκριβῶς κοὐδενὸς αὐτῷ μέλει. Οὗτός ἐστιν ὁ Μένιππος.

Χάρων. — Καὶ μὴν ἄν σε λάβω ποτέ.

Μένιππος. — Ἂν λάβῃς, ὦ βέλτιστε· δὶς δὲ οὐκ ἂν λάβοις.

Κύκλωπος καὶ Ποσειδῶνος.

Κύκλωψ. — Ὦ πάτερ, οἷα πέπονθα ὑπὸ τοῦ καταράτου ξένου, ὃς μεθύσας ἐξετύφλωσέ με, κοιμωμένῳ ἐπιχειρήσας.[24]

Ποσειδῶν. — Τίς δὲ ἦν ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε;

Κύκλωψ. — Τὸ μὲν πρῶτον Οὖτιν αὐτὸν ἀπεκάλει· ἐπεὶ δὲ διέφυγε καὶ ἔξω ἦν βέλους, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη.

Ποσειδῶν. — Οἶδα ὃν λέγεις, τὸν Ἰθακήσιον· ἐξ Ἰλίου δ' ἀνέπλει. Ἀλλὰ πῶς ταῦτα ἔπραξεν οὐδὲ πάνυ εὐθαρσὴς ὤν;

Κύκλωψ. — Κατέλαβον ἐν τῷ ἄντρῳ ἀπὸ τῆς νομῆς ἀναστρέψας πολλοὺς ἐπιβουλεύοντας δῆλον ὅτι τοῖς ποιμνίοις· ἐπεὶ γὰρ ἐπέθηκα τῇ θύρᾳ τὸ πῶμα, πέτρα δέ ἐστι παμμεγέθης, καὶ τὸ πῦρ ἀνέκαυσα, ἐφάνησαν ἀποκρύπτειν ἑαυτοὺς πειρώμενοι· ἐγὼ δὲ συλλαβών τινας αὐτῶν, ὥσπερ εἰκὸς

ἦν,[25] κατέφαγον λῃστάς γε ὄντας. Ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος εἴτε Οὖτις εἴτε Ὀδυσσεὺς ἦν, δίδωσί μοι πιεῖν φάρμακόν τι ἐγχέας ἡδὺ μὲν καὶ εὔοσμον, ἐπιβουλότατον δὲ καὶ ταραχωδέστατον· ἅπαντα γὰρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι καὶ τὸ σπήλαιον αὐτὸ ἀνεστρέφετο καὶ οὐκέτι ὅλως ἔν ἐμαυτῷ ἤμην· τέλος δὲ εἰς ὕπνον κατεσπάσθην.[26] Ὁ δὲ ἀποζύνας τὸν μοχλὸν καὶ πυρώσας γε προσέτι ἐτύφλωσέ με καθεύδοντα· καὶ ἀπ' ἐκείνου[27] τυφλός εἰμί σοι,[28] ὦ Πόσειδον.

Ποσειδῶν. — Ὡς βαθὺν ἐκοιμήθης,[29] ὦ τέκνου, ὃς οὐκ ἐξέθορες μεταξὺ τυφλούμενος. Ὁ δ' οὖν Ὀδυσσεὺς πῶς διέφυγεν; οὐ γὰρ ἂν εὖ οἶδ' ὅτι ἠδυνήθη ἀποκινῆσαι τὴν πέτραν ἀπὸ τῆς θύρας.

Κύκλωψ. — Ἀλλ' ἐγὼ ἀφεῖλον, ὡς μᾶλλον αὐτὸν λάβοιμι ἐξιόντα, καὶ καθίσας παρὰ τὴν θύραν ἐθήρων τὰς χεῖρας ἐκπετάσας μόνα παρείς,[30] τὰ πρόβατα εἰς τὴν νομὴν ἐντειλάμενος τῷ κριῷ ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ.

Ποσειδῶν. — Μανθάνω·[31] ὑπ' ἐκείνοις ἔλαθον ὑπεξελθόντες[32] σὺ δὲ τοὺς ἄλλους Κύκλωπας ἔδει ἐπιβοήσασθαι ἐπ' αὐτόν.[33]

Κύκλωψ. — Σενεκάλεσα, ὦ πάτερ, καὶ ἦκον· ἐπεὶ δὲ ἤροντο τοῦ ἐπιβουλεύοντος τοὔνομα κἀγὼ ἔφην, ὅτι Οὖτίς ἐστι, μελαγχολᾶν[34] οἰηθέντες με ᾤχοντο ἀπιόντες. Οὕτω κατεσοφίσατό με[35] ὁ κατάρατος τῷ ὀνόματι. Καὶ ὁ μάλιστα ἡνίασέ με,[36] ὅτι ὀνειδίζων ἐμοὶ τὴν συμφοράν, οὐδὲ ὁ πατήρ, φησίν, ὁ Ποσειδῶν ἰάσεταί σε.

Ποσειδῶν. — Θάρρει, ὦ τέκνον· ἀμυνοῦμαι[37] γὰρ αὐτόν, ὡς μάθῃ, ὅτι, καὶ εἰ πήρωσίν μοι ὀφθαλμῶν ἴασθαι ἀδύνατον, τὰ γοῦν τῶν πλεόντων[38] ἐπ' ἐμοί ἐστι· πλεῖ δ' ἔτι.

ΤΕΛΟΣ

Σημ. Ὀλίγας σημειώσεις ἀναγκαιοτάσας κριθείσας παραθέτομεν ἐν τέλει κατὰ κεφάλαια, ἵνα μὴ ὁ μαθητὴς ἀρκῆται μόνον κατὰ τὴν ὥραν τῆς ἐξετάσεως ἀναγινώσκων τὰς ὑποσελίδους σημειώσεις ἀλλ' ἀναγκάζηται νὰ μελετᾷ αὐτὰς καλῶς κατ' οἶκον.

Σ. Ἀποσπάσματα ἐκ τῆς Π. Δ.

1. **ὡς σοι ὑπάρχει κατὰ τὸ πλῆθος**=ἀναλόγως τῆς περιουσίας σου
2. **θέμα** = κεφάλαιον.
3. **ὡς βλάσφημος** = πόσον βλάσφημος.
4. **ἀντάλλαγμα** = ἀντίτιμον.

3. Μῦθοι.

1. **ἐννοεῖται**=γέμει τῶν κακῶν.
2 **ῥύμματα** = καθαρτικὰς ὕλας, σάπωνα κλπ.
3. **οὐκ ἔσχε** = δὲν ἠδυνήθη.
4. **εἰ πλείους παραβάλοι** = ἐὰν ἤθελε ῥίψῃ εἰς τὴν ὄρνιθα περισσότερον κριθάρι.
5. **τῇ αὐτῇ διαίτῃ χρώμενοι**= ζῶντες κατὰ τὸν αὐτὸν τρόπον.
6 **τοῦ ἐμοῦ βάρους** = μέρος τοῦ βάρους μου.
7. **καταλύειν τοῦ βίου** = τελευτᾶν.
8. **τοῦ βίου ὑπέξειμι** = θὰ ἀποθάνω.
9. **μοὶ**= ὑπ' ἐμοῦ.
10. **κατορωρύχθαι** = ὅτι εἶναι κεχωσμένος.
11. **ἀδικεῖν** = βλάπτειν.
12. **στήσαντες** = ὁρίσαντες.
13. **συνειδυῖα ἑαυτῇ** = συναισθανομένη, γινώσκουσα καλῶς.
14. **οὐ διέλιπε τρέχουσα** = ἀκαταπαύστως ἔτρεχε.
15. **Φθάσας** = προλαβών.

4. Διηγήματα καὶ περιγραφαί.

1. **ἐν τοῖς λόγοις.** = εἰς τὰ γράμματα.
2 **ἐν δὴ τούτοις τῆς περιουσίας ὤν**=ἐν ᾧ λοιπὸν ἦτο τόσον πτωχός.
3. **τὸ παλαιὸν ἀνεκαλοῦντο.** = τὸν παλαιὸν καιρὸν προσεκάλουν ἐνώπιόν των.
4. **τοῖς φιλοσόφοις σχολάζοντες**=μετὰ τῶν φιλοσόφων διατρίβοντες.
5. **ἀποθάνοι πρὸς**=ρονευθῇ ὑπό.
6. **λόγιον**=χρησμόν.
7. **κατὰ φρυγανισμὸν** = πρὸς συλλογὴν φρυγάνων.
8. **οἱ δὲ φθάσαντες** = ἐκεῖνοι δὲ εὐθύς.
9. **ὡς ἀνδρ. ... πεποιηκότες** =ὡσὰν νὰ εἶχον πράξῃ ἀνδραγάθημα.
10. **θυμῷ**=μὲ θάρρος.
11. **ᾔτησαν ἀναίρ. τοῦ βασ.**= ἐζήτησαν νὰ λάβωσι τὸ σῶμα τοῦ βασιλέως πρὸς ταφήν.
12. **συνέντες** = ἐννοήσαντες.
13. **ὑγρότητα** = εὐκινησίαν.
14. **ἐπιχειρεῖ** = ἐπιτίθεται.
15. **ἕως τούτου δὲ προέρχεται** = μέχρι δὲ ἐκείνου τοῦ σημείου προχωρεῖ.
16. **αὐτοῦ** = δηλ. τοῦ ὕδατος.
17. **δουλοῦται ἰσχυρῶς**=ὑποκύπτει πολύ.
18. **θαυμαστὸν ὅσον** = παρὰ πολύ.
19. **ἀψυχότεραι** = δειλότεραι.

5. Μυθολογία.

1. Μελισσεὺς βασιλεὺς τῆς Κρήτης.
2. **ὡς τὸν γεγεννημένον παῖδα** = ὡς ἐὰν ἦτο τὸ γεννηθὲν παιδίον.
3. **ἐπειδὴ Ζεὺς** = ὅτε ὁ Ζεύς.
4. **ἐξήνεγκε** = διεξήγαγε, ἔκαμε.
5. **κυνῆ, κάλυμμα κεφαλῆς** = περικεφαλαία ἔχουσα τὴν ἰδιότητα νὰ καθιστᾷ ἀόρατον τὸν φέροντα αὐτήν.
6. **διακληροῦνται** = διὰ κλήρου διανέμονται.
7. **λαγχάνει** = λαμβάνει διὰ κλήρου.
8. **ἀπειπὼν** = ἀπαγορεύσας.
9 **ἔτεμε φθάσας** = ἐπρόφθασε καὶ ἔκοψε.
10. **Ἀθηνᾶς δ' ὑποθεμένης** = κατὰ συμβουλὴν δὲ τῆς Ἀθηνᾶς.
11. **ὁ νάρθηξ** = εἶναι φυτὸν ἔχον καυλὸν κουφότατον καὶ ἐπιτήδειον πρὸς τήρησιν π
12. **ἐνέμετο** = ἔτρωγε.
13. **ὑποθεμένου** = κατὰ σ βουλήν.
14. **ὀλίγων χωρὶς** = ἐκτὸς ὀλίγων.
15 **προσίσχει**=προσορμίζεται.
16. **ἰδιώτης**=λέγεται πᾶς ὁ μὴ γνωρίζων τι· ἐνταῦθα = ἀμαθής.
17. **τὸ δὲ μέγιστον**=ἐννοεῖται ἐνταῦθα **ἐστὶν ὅτι.**
18. **τοὺς ἀπαντῶντας** = τοὺς ἐρχομένους.
19. **ἔνι** = εἶναι δυνατόν
20. **πρὸς δὲ τῇ καθόδῳ** = πλησίον δὲ τῆς καταβάσεως.
21. **ἀδαμαντίνῃ** = ἐκ σκληροτάτου σιδήρου κατεσκευασμένη.
22. **τῷ ἀρίστῳ βίῳ συνεσομένους.** = ἵνα ζήσωσι βίον ἄριστον.

6. Διάλογοι.

1. **διακόψαι** = ὥστε νὰ διακόψω.
2. **κατενεγκὼν** = καταβιβάσας τὸν πέλεκυν.
3 **εἰ μέμηνα** = ἐὰν εἶμαι τρελλός· μέμηνα παρακ. τοῦ μαίνομαι.
4. **πειράσει μου** = θὰ μὲ δοκιμάσῃ. Ἄλλοτε ὁ Ζεὺς ὀργισθεὶς κατὰ τοῦ Ἡφαίστου ἔλαβὼν αὐτὸν ἀπὸ τοῦ ποδὸς ἔρριψεν ἀπὸ τὸν οὐρανὸν εἰς τὴν γῆν, καταπεσὼν δ' εἰς Λῆμνον συνέτριψε τὸν πόδα, ἐξ οὗ καὶ χωλὸς ἦτο ὁ Ἥφαιστος.
5. **μηδὲ μέλλειν**=τὸ πλῆρες·

χρὴ μέλλειν = βραδύνειν.

κατὰ τὴν Εἰλήθειαν = ὅ' ὃν τρόπον ἡ Εἰλήθεια βοηθεῖ τὰς γυναῖκας εἰς τὸν τοκετόν.

7. **καὶ ταῦτα** = καὶ μάλιστα.

8. **Ἤπου** = λοιπόν.

9. **ἐλελήθεις ἔχων στρατόπεδον οὐ κεφαλήν** = στρατόπεδον εἶχες καὶ ὄχι κεφαλήν, τὸ ὁποῖον ἦτο ἄγνωστον.

10 **καὶ τὸ μέγιστον** ἐνν. ἐστὶν ὅτι

11. **ἐγγυήσας** = ἀρραβωνίσας.

12. **τό γ' ἐπ' ἐμοί** = ὅσον ἐξαρτᾶται ἀπὸ ἐμέ.

13. **τὰ πορθμεῖα** = τὸν ναῦλον.

14. **οὐκ ἂν λάβοις** = δὲν δύνασαι νὰ λάβῃς.

15. **καὶ μὴν** = ἀλλά.

16. **τῷ ξύλῳ σου** = ἡ γεν. σοῦ ἀναφέρεται εἰς τὸ κρανίον.

17. **ὑπὲρ ἐμοῦ** = ἀντ' ἐμοῦ.

18. **Νὴ Δί' ὠνάμην γε** = ἐπέτυχα, ἐπρόκοψα μὰ τὴν ἀλήθειαν.

19. **ὑπερκτίνειν** = πληρώνειν ἀντί.

20 **ὡς κομίζεσθαι δέον** (ἐνν. ἦν) = ὅτι ἦτο ἀνάγκη νὰ φέρῃς μαζί σου

21 **ἤντλησα** = ἐνν. τὸ ἐν τῷ πυθμένι τοῦ πλοίου σωρευόμενον ὕδωρ

22. **δεῖπνον** = Ἑκάτης φνόζον οἱ παλαιοὶ ὅσα ἐν τέλει ἑκάστου μηνὸς μετεχειρίζοντο πρὸς κάθαρσιν τῆς οἰκίας. Ἦσαν δὲ φά, κρόμμυα μέλικλπ. προτιθέμενα ἐν ταῖς τριόδοις χάριν τῆς Ἑκάτης καὶ ἐσθιόμενα ὑπὸ τῶν πτωχῶν ἢ ὑπὸ τῶν κυνικῶν φιλοσόφων.

23. **κύνα** = ἐννοεῖ τὸν Μένιππον.

24. **ἐπιχειρήσας** = ἐπιτηδείς.

25. **εἰκὸς ἦν** = φυσικὸν ἦτο.

26. **εἰς ὕπνον κατεσπάσθην** = ἐκυριεύθην ὑπὸ ὕπνου.

27. **ἀπ' ἐκείνου** = ἀπὸ τότε.

28 **εἰμί σοι** = σοῦ εἶμαι.

29. **ὡς βαθὺν ἐκοιμήθης** = πόσον βαθὺν ὕπνον ἐκοιμήθης.

30. **παρεὶς** = ἀφήσας.

31 **μανθάνω** = ἐννοῶ.

32. **ὑπ' ἐκείνους ἔλαθον ὑπεξ.** = ἐξῆλθον ὑπὸ κάτω ἐκείνων χωρὶς νὰ ἐννοήσῃς.

33. **ἐπιβοήσασθαι ἐπ' αὐτοῦ** = νὰ φωνάξῃς αὐτοὺς ἐναντίον αὐτοῦ.

34. **μελαγχολᾶν** = παραφρονεῖν.

35. **κατεσοφίσατο** = κατεγέλασε, ἠπάτησε.

36. **καὶ δ' μάλιστα ἠνίασέ με** (ἐνν. ἐστιν) = καὶ ἐκεῖνο τὸ ὁποῖον πρὸ πάντων μὲ ἐλύπησεν εἶναι . . .

37. **ἀμυνοῦμαι** = θὰ ἐκδικηθῶ.

38. **τὰ γοῦν τῶν πλεόντων** = τοὐλάχιστον τὰ πράγματα τῶν πλεόντων ἢ οἱ πλέοντες εἶναι εἰς τὴν ἐξουσίαν μου.

Σημείωσις. Ἡ ὕλη τοῦ παρόντος τεύχους εἶναι οὕτως διατεταγμένη καὶ ἐκλελεγμένη, ὥστε νὰ εἶναι δυνατὸν νὰ χρησιμοποιῆται οὐ μόνον διὰ τὴν Ε', ἀλλὰ καὶ διὰ τὴν Ϛ' τάξιν τῶν Ἀστικῶν Σχολῶν.